www.tezaurliturgic.ro

# ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ

# ΣΙΛΑ

ΕΚΔΙΔΕΤΑΙ ΠΡΟΝΟΙΑ
ΤΟΥ ΣΕΒ. ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΦΙΛΙΠΠΩΝ, ΝΕΑΠΟΛΕΩΣ ΚΑΙ ΘΑΣΟΥ
ΧΡΥΣΟΣΤΟΜΟΥ

ΕΓΚΡΙΣΕΙ ΤΗΣ ΙΕΡΑΣ ΣΥΝΟΔΟΥ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

30ην Ιουλίου

ΕΚΔΟΣΙΣ
ΙΕΡΑΣ ΜΗΤΡΟΠΟΛΕΩΣ ΦΙΛΙΠΠΩΝ, ΝΕΑΠΟΛΕΩΣ ΚΑΙ ΘΑΣΟΥ
1960

www.tezaurliturgic.ro

Ἰουλίου λ΄.

Μνήμη τοῦ Ἁγίου ἐνδόξου καὶ πανευφήμου

## Ἀποστόλου Σίλα.

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἀποστόλου.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Χάριν τὴν τοῦ Πνεύματος, τοῦ Παναγίου δεξάμενος, Ἀποστόλων ὁμότροπος, ἐδείχθης καὶ σύσκηνος, Ἀπόστολε Σίλα, καὶ τῷ θείῳ Παύλῳ, ἀκολουθήσας ἱερῶς, τῷ θείῳ λόγῳ πολλοὺς ἐφώτισας, πρὸς πίστιν τὴν σωτήριον, ὡς τοῦ Σωτῆρος διάκονος, διὰ τοῦτο τὴν μνήμην σου, τὴν Ἁγίαν γεραίρομεν.

Παῦλός σε ὁ ἔνθεος, ἐπιλεξάμενος ἔνδοξε, συνοδίτην σε ἔσχηκε· σὺν τούτῳ γὰρ ὥδευσας, ἐπὶ πλείστας πόλεις, καὶ πολλοὺς κινδύνους, ὑπὲρ τῆς δόξης τοῦ Χριστοῦ, Σίλα Ἀπόστολε καθυπέμεινας· διό σε κατεκόσμησεν, ἐπουρανίοις χαρίσμασιν, Ἰησοῦς ὁ Φιλάνθρωπος, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ὤφθη Μακεδὼν ἀνήρ, Ὑμᾶς καλῶν εἰς βοήθειαν, ἐν ὁράματι ἔνδοξοι. Ἐντεῦθεν ἐξήλθετε, ἀπὸ τῆς Τρῳάδος, εἰς Μακεδονίαν, Παῦλε καὶ Σίλα, οἱ σοφοί, εἰς τὴν Νεάπολιν καὶ Φιλίππους δέ, σταθμεύσαντες ἀνάπαυσιν, τὴν ἀληθῆ διὰ πίστεως, τοῖς τῇ πλάνῃ συγκάμνουσιν, ἐβραβεύσατε Ἅγιοι.

www.tezaurliturgic.ro



Σίλα Παμμακάριστε, μύστα Χριστοῦ καὶ Ἀπόστολε, καὶ θεράπον θερμότατε, τὴν τῷ σῷ ὀνόματι, ἱδρυθεῖσαν Μάνδραν, φύλαττε καὶ φρούρει, ἐπιστασίᾳ σου σεπτῇ· ὅτι τῷ τόπῳ ὃν καθηγίασας, τῇ θείᾳ διελεύσει σου, τεθεμελίωται Ἅγιε, καὶ φαιδρῶς σου τὴν πάνσεπτον, ἑορτάζει πανήγυριν.

Δόξα... Ἦχος δ΄.

Μαθητευθεὶς τῷ λόγῳ τῆς Χάριτος, τοῦ Εὐαγγελίου τῆς εἰρήνης, κήρυξ θεόληπτος ὤφθης, Σίλα Ἀπόστολε· τὴν γὰρ γενομένην ἡμῖν σωτηρίαν, γλώσσῃ σοφῇ ἐκήρυξας, τοῖς ἐν σκότει καὶ σκιᾷ τῆς ματαιότητος καθεύδουσιν· εἰρήνην γὰρ καὶ λύτρωσιν, καὶ φῶς ἀληθινὸν ἡμῖν ἐβράβευσε, Χριστὸς ὁ Θεός, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν... Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

Ἀπόστιχα.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν...

Λόγῳ σου τῷ σεπτῷ, Νεάπολις ἡ πάλαι, καὶ Φίλιπποι ὦ Σίλα, μεμύηνται τὸ μέγα, τῆς πίστεως μυστήριον.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται...

Ἰδοὺ τῇ σῇ Μονῇ, ἣν ἵδρυσέ σοι Σίλα, ὁ ἔνθους Ἱεράρχης, τὰς ἀγαθάς σου δόσεις, ψυχῶν εἰς περιποίησιν.

Δόξα... Τριαδικόν.

Τρίφωτε Παντουργέ, Θεότης Τρισαγία, Πάτερ Υἱὲ καὶ Πνεῦμα, ἐλέησον τὸν κόσμον, λιταῖς τοῦ Ἀποστόλου Σου.

Καὶ νῦν... Θεοτοκίον.

Τέτοκας ἐν σαρκί, τὸν προαιώνιον Λόγον, Ὑπεραγία Κόρη, διὰ φιλανθρωπίαν, σῴζοντα τὸ ἀνθρώπινον.

Νῦν ἀπολύεις. Τὸ Τρισάγιον, καὶ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ.

Ἀπόλυσις.



## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τό, Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς Ἀπόστολον ἔνθεον, καὶ τοῦ Παύλου συνέκδημον, Σίλα παμμακάριστε εὐφημοῦμέν σε· ὅτι τὸν λόγον τῆς πίστεως, πανσόφως ἐκήρυξας, καὶ ὡδήγησας λαούς, πρὸς τὴν θείαν ἐπίγνωσιν, τοῦ δι᾽ ἔλεος, σαρκωθέντος καὶ σώσαντος τὸν κόσμον. Ὃν ἱκέτευε σωθῆναι, τοὺς ἐκτελοῦντας τὴν μνήμην σου.

Τῇ τοῦ Πνεύματος χάριτι, συνεδέθης Ἀπόστολε, τῷ οὐρανοβάμονι ἐθνῶν κήρυκι· ἐπιλογῇ γὰρ τῇ κρείττονι, αὐτῷ ἠκολούθησας, καὶ ἐν πᾶσι χαρακτήρ, ἀκριβὴς ἐχρημάτισας, τούτου ἔνδοξε, τῶν δεσμῶν καὶ τῶν τρόπων καὶ τῶν λόγων, κοινωνήσας αὐτῷ Σίλα, ἐν τῷ ἐνθέῳ κηρύγματι.

Τῇ προσκλήσει ὑπείκοντες, τοῦ ὀφθέντος Ἀπόστολοι, Ὑμῖν θείῳ Πνεύματι ἐν ὁράματι, ἀπὸ Τρῳάδος διέβητε, εὐαγγελιζόμενοι, εἰς Νεάπολιν λαμπρῶς, καὶ Φιλίππους τὸν Κύριον, Παῦλε ἔνδοξε, καὶ Θεόληπτε Σίλα, Ἀποστόλων, Ἑβδομήκοντα τὸ κλέος, καὶ πρεσβευτὰ τῶν ψυχῶν ἡμῶν.

Τῇ τοῦ λόγου σου χάριτι, καὶ δυνάμει τῆς πίστεως, τοὺς πιστοὺς ὡς γέγραπται παρεκάλεσας, καὶ ἐπεστήριξας ἔνδοξε, ὡς θεῖος Ἀπόστολος, ὡς σοφίας θεϊκῆς, ὑποφήτης Θεόληπτος, ὡς ἐλλάμψεως, πεπλησμένος ἀΰλου ἐπιπνόου, καὶ τῶν θείων μυστηρίων, Σίλα Θεόφρον διάκονος.

Ἡ Νεάπολις πρότερον, καὶ οἱ Φίλιπποι Ἅγιε, τοῦ πλούτου τῆς Χάριτος κατετρύφησαν, ταῖς διδαχαῖς σου Ἀπόστολε· ἐν ταύταις σὺν Παύλῳ γάρ, τὸν Θεὸν τὸν ἀληθῆ, Θεῖε Σίλα ἐκήρυξας. Ὅθεν Μάνδραν σοι, ἐν τῷ τόπῳ ἀνήγειραν οὗ ἔστης, καὶ τὴν μνήμην σου τὴν θείαν, χαρμονικῶς ἑορτάζουσιν.

www.tezaurliturgic.ro



Ως προστάτην καὶ ἔφορον, καὶ θεμέλιον ἄρρηκτον, ἡ Μονὴ σου Ἅγιε, ἡ Θεόλεκτος, χαρμονικῶς μεγαλύνει σε, καὶ πόθῳ τὴν μνήμην σου, ἑορτάζει τὴν λαμπράν, καρπουμένη ἑκάστοτε τῆς εὐνοίας σου, τὰς πλουσίας ἐκφάνσεις Θεῖε Σίλα, ἣν ἀπήμονα συντήρει, ἐκ πάσης βλάβης καὶ θλίψεως.

Δόξα... Ἦχος πλ. β΄.

Ἀποστολικῇ ἐμπρέπων χάριτι, τοῦ Εὐαγγελίου τῆς εἰρήνης, ὑπηρέτης σοφὸς ἐχρημάτισας, Ἀπόστολε Σίλα· πεφωτισμένος γὰρ τῇ ἐλλάμψει τοῦ Παρακλήτου, ὡς φωστὴρ λόγον ζωῆς ἐπέχων, τῷ κόσμῳ ἐξέλαμψας, καὶ τὸν Ἥλιον τῆς δόξης, τοῖς ἐν νυκτὶ τῆς ἀγνωσίας ἀληθῶς ἐγνώρισας· τῷ γὰρ σκεύει τῆς ἐκλογῆς συνοδεύσας, πλείστους πόνους καὶ ἀγῶνας σὺν αὐτῷ ὑπέστης, καὶ τὸν δρόμον τὸν καλόν, ἀκλινῶς ἐτέλεσας. Ὅθεν τοῖς τελοῦσι τὴν μνήμην σου, αἴτησαι δεόμεθα, εἰρήνην καὶ μέγα ἔλεος.

Καὶ νῦν... Ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε...

Εἴσοδος. Φῶς ἱλαρόν... Τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

(Πράξ. 15,30-41)

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀπολυθέντες οἱ Ἀπόστολοι, ἦλθον εἰς Ἀντιόχειαν, καὶ συναγαγόντες τὸ πλῆθος ἐπέδωκαν τὴν ἐπιστολήν, ἀναγνόντες δὲ ἐχάρησαν ἐπὶ τῇ παρακλήσει. Ἰούδας τε καὶ Σίλας, καὶ αὐτοὶ προφῆται ὄντες, διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφοὺς καὶ ἐπεστήριξαν. Ποιήσαντες δὲ χρόνον, ἀπελύθησαν μετ' εἰρήνης ἀπὸ τῶν ἀδελφῶν πρὸς τοὺς Ἀποστόλους· ἔδοξε δὲ τῷ Σίλᾳ ἐπιμεῖναι αὐτοῦ. Παῦλος δὲ καὶ Βαρνάβας διέτριβον ἐν Ἀντιοχείᾳ, διδάσκοντες καὶ εὐαγγελιζόμενοι μετὰ καὶ ἑτέρων πολλῶν τὸν λόγον τοῦ Κυρίου. Μετὰ δέ τινας ἡμέρας, εἶπε Παῦλος πρὸς Βαρνάβαν· ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς ἡμῶν κατὰ πᾶσαν πόλιν, ἐν αἷς κατηγγείλαμεν τὸν λόγον τοῦ Κυρίου, πῶς ἔχουσιν. Βαρνάβας δὲ ἐβουλεύσατο συμπαραλαβεῖν τὸν Ἰωάννην, τὸν ἐπικαλούμενον Μάρκον. Παῦλος δὲ ἠξίου, τὸν ἀποστάντα ἀπ' αὐτῶν ἀπὸ Παμφυλίας καὶ μὴ συνελθόντα αὐτοῖς εἰς τὸ ἔργον, μὴ συμπαραλαβεῖν τοῦτον. Ἐγένετο οὖν παροξυσμός, ὥστε ἀποχωρισθῆναι αὐτοὺς ἀπ' ἀλλήλων, τόν τε Βαρνάβαν, παραλαβόντα τὸν Μάρκον, ἐκπλεῦσαι εἰς Κύπρον. Παῦλος δέ, ἐπιλεξάμενος Σίλαν, ἐξῆλθε, παραδοθεὶς τῇ χάριτι τοῦ Θεοῦ ὑπὸ τῶν ἀδελφῶν, διήρχετο δὲ τὴν Συρίαν καὶ Κιλικίαν, ἐπιστηρίζων τὰς Ἐκκλησίας.



Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

(Πράξ. 16,8-16)

Ἐν ταῖς ἡμέραις ἐκείναις, παρελθόντες οἱ Ἀπόστολοι τὴν Μυσίαν, κατέβησαν εἰς Τρῳάδα· καὶ ὅραμα διὰ νυκτὸς ὤφθη τῷ Παύλῳ. Ἀνήρ τις ἦν Μακεδὼν ἑστὼς καὶ παρακαλῶν αὐτὸν καὶ λέγων· Διαβὰς εἰς Μακεδονίαν βοήθησον ἡμῖν. Ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητήσαμεν ἐξελθεῖν εἰς Μακεδονίαν, συμβιβάζοντες, ὅτι προσκέκληται ἡμᾶς ὁ Κύριος εὐαγγελίσασθαι αὐτούς. Ἀναχθέντες οὖν ἀπὸ τῆς Τρῳάδος εὐθυδρομήσαμεν εἰς Σαμοθρᾴκην, τῇ δὲ ἐπιούσῃ εἰς Νεάπολιν, ἐκεῖθέν τε εἰς Φιλίππους, ἥτις ἐστὶ πρώτη τῆς μερίδος τῆς Μακεδονίας πόλις κολωνία. Ἦμεν δὲ ἐν αὐτῇ τῇ πόλει διατρίβοντες ἡμέρας τινάς, τῇ τε ἡμέρᾳ τῶν Σαββάτων ἐξήλθομεν ἔξω τῆς πόλεως παρὰ ποταμόν, οὗ ἐνομίζετο Προσευχὴ εἶναι, καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις γυναιξί. Καί τις γυνὴ ὀνόματι Λυδία, πορφυρόπωλις πόλεως Θυατείρων, σεβομένη τὸν Θεόν, ἤκουεν, ἧς ὁ Κύριος διήνοιξε τὴν καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου. Ὡς δὲ ἐβαπτίσθη καὶ ὁ οἶκος αὐτῆς, παρεκάλεσε λέγουσα, εἰ κεκρίκατέ με πιστὴν τῷ Κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου μείνατε· καὶ παρεβιάσατο ἡμᾶς.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

(Πράξ. 16,16-35)

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο πορευομένων ἡμῶν τῶν Ἀποστόλων εἰς προσευχήν, παιδίσκην τινά, ἔχουσαν πνεῦμα Πύθωνος, ἀπαντῆσαι ἡμῖν, ἥτις ἐργασίαν πολλὴν παρεῖχε τοῖς κυρίοις αὐτοῖς, μαντευομένη. Αὕτη κατακολουθήσασα τῷ Παύλῳ

www.tezaurliturgic.ro



καὶ τῷ Σίλᾳ, ἔκραζε λέγουσα. Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου εἰσίν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας. Τοῦτο δὲ ἐποίει ἐπὶ πολλὰς ἡμέρας. Διαπονηθεὶς δὲ ὁ Παῦλος, καὶ ἐπιστρέψας τῷ πνεύματι εἶπε. Παραγγέλλω σοι ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ Χριστοῦ ἐξελθεῖν ἀπ' αὐτῆς, καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ. Ἰδόντες δὲ οἱ κύριοι αὐτῆς, ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, ἐπιλαβόμενοι τὸν Παῦλον καὶ τὸν Σίλαν εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας, καὶ προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς εἶπον. Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, Ἰουδαῖοι ὑπάρχοντες, καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι, οὐδὲ ποιεῖν, Ῥωμαίοις οὖσι. Καὶ συνεπέστη ὁ ὄχλος κατ' αὐτῶν, καὶ οἱ στρατηγοὶ περιῤῥήξαντες αὐτῶν τὰ ἱμάτια, ἐκέλευον ῥαβδίζειν. Πολλάς τε ἐπιθέντες αὐτοῖς πληγάς, ἔβαλον εἰς φυλακήν, παραγγείλαντες τῷ δεσμοφύλακι ἀσφαλῶς τηρεῖν αὐτούς. Ὃς παραγγελίαν τοιαύτην εἰληφώς, ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακήν, καὶ τοὺς πόδας αὐτῶν ἠσφαλίσατο εἰς τὸ ξύλον. Κατὰ δὲ τὸ μεσονύκτιον Παῦλος καὶ Σίλας προσευχόμενοι ὕμνουν τὸν Θεόν, ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι. Ἄφνω δέ, σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου. Ἠνεῴχθησάν τε παραχρῆμα αἱ θύραι πᾶσαι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη. Ἔξυπνος δὲ γενόμενος ὁ δεσμοφύλαξ, καὶ ἰδὼν ἀνεῳγμένας τὰς θύρας τῆς φυλακῆς, σπασάμενος μάχαιραν, ἔμελλεν ἑαυτὸν ἀναιρεῖν, νομίζων ἐκπεφευγέναι τοὺς δεσμίους. Ἐφώνησε δὲ φωνῇ μεγάλῃ ὁ Παῦλος λέγων· μηδὲν πράξῃς σεαυτῷ κακόν, ἅπαντες γάρ ἐσμεν ἐνθάδε. Αἰτήσας δὲ φῶτα εἰσεπήδησε, καὶ ἔντρομος γενόμενος προσέπεσε τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, καὶ προαγαγὼν αὐτοὺς ἔξω, ἔφη· Κύριοι, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ; Οἱ δὲ εἶπον· Πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ σωθήσῃ σὺ καὶ ὁ οἶκός σου. Καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ Κυρίου, καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ. Καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτός, ἔλουσεν ἀπὸ τῶν πληγῶν, καὶ ἐβαπτίσθη αὐτὸς καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα, ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον αὐτοῦ, παρέθηκε τράπεζαν, καὶ ἠγαλλιάσατο πανοικὶ πεπιστευκὼς τῷ Θεῷ.



## Εἰς τὴν Λιτὴν

### Ἰδιόμελα. Ἦχος α΄.

Ἀγάλλεται ἐνθέως, ἡ Νεαπόλεως καὶ Φιλίππων Ἐκκλησία, σεμνυνομένη τῇ δόξῃ σου, Ἀπόστολε Σίλα. Τῷ γὰρ λόγῳ σου πεφώτισται, καὶ ἀπαρχὴ Χριστῷ γεγένηται, τῆς μετέπειτα προσαγωγῆς, τῷ Εὐαγγελίῳ τῆς Χάριτος, τῶν ἐν Εὐρώπῃ ἐθνῶν. Ὡς γὰρ ἀστὴρ συνεξέλαμψας ἡμῖν, τῷ φαεινῷ ἑωσφόρῳ Παύλῳ, ἑπόμενος ἔνδοξε. Ὅθεν τὴν λαμπράν σου τελοῦσα μνήμην, ἐν τῇ ἁγίᾳ σου Μονῇ τοὺς ἑαυτῆς συνεκάλεσεν υἱούς, καὶ χαρμονικῶς πανηγυρίζει βοῶσα, Κύριε Δόξα σοι.

### Ἦχος β΄.

Πλήρης χάριτος καὶ σοφίας, τοῦ Παρακλήτου τῇ ἐνεργείᾳ, ἀνεδείχθης Ἀπόστολε, δικαιοσύνῃ ἐκλάμπων. Ὅθεν τὸ μέγα τῆς εὐσεβείας μυστήριον, λόγῳ σοφῷ διετράνωσας, καὶ ἔργῳ ἐβεβαίωσας, καὶ θαύμασιν ἐστήριξας, τῶν πιστῶν τὰς καρδίας· μαθητευθεὶς γὰρ τῷ θείῳ Κήρυκι, κατ' ἀξίαν δεδόξασαι, Σίλα Θεοδόξαστε.

### Ἦχος γ΄.

Τὴν τῆς ψυχῆς σου λαμπρότητα, ὁ τῶν ἀπορρήτων κατιδὼν θεατής, ἀκολουθεῖν σε ἐξελέξατο, καὶ συνεργόν σε ἀνέδειξεν, ἐν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ, Σίλα Ἀπόστολε. Ὅθεν σὺν αὐτῷ ὡς ἀετὸς ὑψιπετής, πλείστας πόλεις καὶ χώρας διέδραμες· καὶ ἐν Μακεδονίᾳ συμμοχθήσας, τὴν πάντα νοῦν ὑπερέχουσαν εἰρήνην, καὶ τὰ ἀγαθὰ τῆς πίστεως, εὐηγγελίσω ἡμῖν ἅγιε. Ὧν τρυφῶντες ἑορτάζομεν, τὴν φωτοφόρον μνήμην σου.

### Ἦχος δ΄.

Τῆς κεκρυμμένης ἐν Χριστῷ ζωῆς, φυτοκόμος ἄριστος ὤφθης, ἐκ Τρῳάδος διαβὰς ἡμῖν, δι' ὁράματος ξένου. Ταύτης οὖν γεώργιον, καὶ κῆπον κεκλεισμένον γραφικῶς, ἱεράν σοι Μονὴν ἐδείματο, ὁ σεπτὸς Ποιμενάρχης, ἔνθα οἱ πόδες σου ἔστησαν, Ἀπόστολε Σίλα. Καὶ νῦν τῶν πρεσβειῶν σου τῇ γεωργίᾳ, καρπο-

www.tezaurliturgic.ro



φόρον ταύτην ἀπεργάζου, ἐν ἔργοις ἐναρέτοις, ὅτι τῇ σῇ προστρέχει χάριτι, καὶ τὴν σὴν ἐπιβοᾶται ἀεὶ ἀντίληψιν, χαρμοσύνως ἄγουσα, τὴν ἁγίαν μνήμην σου.

Δόξα... Ὁ αὐτός.

Τῆς ἐν Χριστῷ οἰκονομίας, θεοειδὴς Ἀπόστολος, καὶ διαπρύσιος κήρυξ, ἀνεδείχθης ἐν τοῖς πέρασι, Σίλα παμμάκαρ· Ἐκ τῆς Σιὼν γὰρ ἀνατείλας, ὡς οὐρανὸς κατὰ Δαβὶδ ἔμψυχος, τοῖς ἐν γῇ διηγήσω, τοῦ κενωθέντος ἐπὶ γῆς δι' εὐσπλαγχνίαν, καὶ Οὐρανίους ἡμᾶς τελέσαντος τὴν δόξαν τὴν ἄρρητον, καὶ τῆς κενώσεως αὐτοῦ, τὸ μέγα μυστήριον. Αὐτὸν ἱκέτευε, θεηγόρε Ἀπόστολε, δωρηθῆναι τῇ οἰκουμένῃ εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν... Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Παύλῳ μαθητευθεὶς τῷ σοφῷ, τῶν ὑπὲρ λόγον μυστηρίων διάκονος, Ἀπόστολε Σίλα ὤφθης, καὶ λειτουργὸς ἀληθής, τῆς σκηνῆς τῆς θείας ἥνπερ ἔπηξε, Χριστὸς ὁ Θεὸς ἡμῶν, σαρκωθεὶς ὡς φιλάνθρωπος, οὗ τῆς ἀγάπης, καὶ τῆς θείας χρηστότητος, ἐν τοῖς ἔθνεσι, τὸν βυθὸν ἀνεκήρυξας. Ὅθεν σε μακαρίζομεν, τελοῦντες τὴν μνήμην σου, καὶ τοὺς μακροὺς σου ἀγῶνας, ὑπὲρ Χριστοῦ μεγαλύνομεν, αἰτοῦντες σε μάκαρ, ἱκετεύειν τὸν Σωτῆρα, ὑπὲρ τῆς ποίμνης σου.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν...

Ὤφθη τῇ εὐδοκίᾳ Θεοῦ, ὑμῖν ἀνήρ τις Μακεδὼν ἐν ὁράματι, Ἀπόστολοι Θεηγόροι, τὴν παρ' ἡμῶν ἀξαιτῶν, σωτήριον χάριν καὶ βοήθειαν. Ἐντεῦθεν ὑπείκοντες, ἐμφανίσει τῇ ἄνωθεν, ἀπὸ Τρῳάδος, εἰς Νεάπολιν ἥκετε, καὶ Φιλίππους δέ, τῷ Χριστῷ προσηγάγετε, Παῦλε θεομακάριστε καὶ Σίλα θεόληπτε, τῶν οὐρανίων δογμάτων, λόγῳ καὶ ἔργῳ ἐκφάντορες. Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.



Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται...

Ἔχων τοῦ Παρακλήτου τὸ φῶς, ἐκ Νεαπόλεως ὁδεύων Ἀπόστολε, πρὸς πόλιν τὴν τοῦ Φιλίππου, ἀναψυχὴν τοῦ λαβεῖν, ἐν τῷδε τῷ τόπῳ ἔστης ἅγιε, ἐν ᾧ Μονὴ θεία σοι, εἰς ψυχῆς περιποίησιν, ᾠκοδομήθη, καὶ τῇ σῇ ἀνατέθηται, θείᾳ χάριτι, καυχωμένη τῇ κλήσει σου. Ταύτην ἀεὶ περίεπε, ταῖς σαῖς ἀντιλήψεσι, καὶ τοῖς προστρέχουσι ταύτῃ ἁγιασμόν τε καὶ λύτρωσιν, ἑκάστοτε δίδου, τῇ θερμῇ σου προστασίᾳ, Σίλα πανεύφημε.

Δόξα... Ἦχος πλ. δ'.

Τῆς εὐσεβείας τὸν πλοῦτον, ταῖς πενομέναις τῇ πλάνῃ ψυχαῖς, ἀφθόνως παρέθου, θεηγόρε Ἀπόστολε. Τοῦ γὰρ Χριστοῦ τὴν χρηστότητα, κηρύττων τοῖς πᾶσι, τῆς σωτηρίας τὴν ὁδὸν ὑπέδειξας, τοῖς πλανωμένοις ἐν τρίβοις σκολιαῖς, πάσης ματαίας ἀναστροφῆς. Διὸ ἡ Μακεδονία ἡγιάσθη τοῖς ἱδρῶσί σου, Ἀποστολικῇ λαμπρυνθεῖσα πορείᾳ σου, Σίλα παμμάκαρ. Ταύτης γὰρ τὰς πόλεις διῆλθες, ὡς ἀστὴρ θεοφεγγής, τὸ ἀληθινὸν φῶς ἐκλάμπων, τὸ φωτίζον καὶ ἁγιάζον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν... Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε...

Νῦν ἀπολύεις... Τὸ Τρισάγιον, καὶ τὰ Ἀπολυτίκια.

Ἦχος δ'.

Ὡραῖοι οἱ πόδες σου, Σίλα Ἀπόστολε, τὴν γῆν καθηγίασαν, τῆς Νεαπόλεως καὶ τῶν Φιλίππων, τὴν κλεινὴν χώραν, πανεύφημε. Φωτὸς τοῦ θείου μύστης, πρὸς ἡμᾶς χρηματίσας, ἔλυσας τῶν εἰδώλων, τὴν σκοτόμαιναν μάκαρ. Δι' ὃ ἐν παρρησίᾳ Χριστῷ, πρέσβευε σωθῆναι ἡμᾶς.

Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Συνοδίτης τοῦ Παύλου γεγονὼς καὶ συνέκδημος, τὴν Νεάπολιν μάκαρ καὶ Φιλίππους ἐφώτισας, τῆς θείας ἐπιγνώσεως φωτί, Ἀπόστολε Σίλα ἱερέ· ἀλλὰ φύλαττε καὶ σκέπε τὴν σὴν Μονήν, πιστῶς ἀνακειμένην σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ μεγαλύνοντι, δόξα τῷ ἐκπληροῦντι διὰ σοῦ, ἡμῶν τὰ αἰτήματα.

www.tezaurliturgic.ro



Ἕτερον. Ὅμοιον.

Μαθητὰ τοῦ Σωτῆρος καὶ τοῦ Παύλου συνόμιλε, τὴν παροῦσαν Μονήν σου, τῇ θερμῇ ἀντιλήψει σου, περίεπε καὶ σκέπε ἀσφαλῶς, Ἀπόστολε Σίλα ἱερέ, ἐκτελοῦσάν σου τὴν μνήμην χαρμονικῶς, καὶ πόθῳ ἀνακράζουσαν· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ μεγαλύναντι, δόξα τῷ ἐκπληροῦντι διὰ σοῦ, ἡμῶν τὰ αἰτήματα.

Δόξα... Ἕτερον. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Μονή σοι περίβλεπτος, καὶ ἱερὰ καὶ σεπτή, ἐν τόπῳ ᾧ ἔστηκας, ᾠκοδομήθη πιστῶς, Ἀπόστολε ἔνδοξε, ἥνπερ καὶ διασῴζοις τῇ θερμῇ σου πρεσβείᾳ, πόθῳ ἐπιτελοῦσαν, τὴν ἁγίαν σου μνήμην, καὶ σὲ ὑμνολογοῦσαν Σίλα Μακάριε.

Καὶ νῦν... Θεοτοκίον.

Τὸ ἀπ᾿ αἰῶνος ἀπόκρυφον...

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα.

Ἦχος α'. Τὸν Τάφον σου Σωτήρ.

Ὡς ἄστρον νοητόν, τῷ ἡλίῳ τῷ Παύλῳ, ἑπόμενος σοφέ, ἀληθείας τὸ φέγγος, τοῖς πέρασιν ἐξήστραψας, καὶ ἡμᾶς κατεφώτισας, Σίλα ἔνδοξε, λόγοις καὶ πράξεσι θείοις· ὅθεν σήμερον, τὴν φωτοφόρον σου μνήμην, τελοῦντες ὑμνοῦμέν σε.

Θεοτοκίον.

Συνέλαβες Ἁγνή, ἐν γαστρὶ ἀπορρήτως, καὶ τέτοκας ἡμῖν, τὸν Ὑπέρθεον λόγον, ἡμᾶς ἀνακαλούμενον, διὰ πλοῦτον χρηστότητος, πρὸς οὐράνιον, ἐξ ἧς πεπτώκαμεν δόξαν, ἀπειρόγαμε, Εὐλογημένη Μαρία, βροτῶν ἀνακαίνισις.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.

Ἦχος δ'. Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἀκολουθήσας τῷ Θεόφρονι Παύλῳ, ἀπὸ Τρῳάδος εἰς Νεάπολιν ἧκες, ὑποταγεὶς τῷ θεϊκῷ ὁράματι, ἔνθεν εἰς Φιλίππους δέ, τὸν Χριστὸν καταγγείλας, ἅπασαν διέδραμες, ὡς Ἀπόστολος Θεῖος, Μακεδονίαν Σίλα ἱερέ, ταύτην καθαίρων τῷ θείῳ κηρύγματι.

Θεοτοκίον.

Ὥσπερ πυρίμορφος καὶ ἔμψυχος θρόνος, ἐν ταῖς ἀγκάλαις τὸν Δεσπότην τῶν ὅλων, οἷά περ βρέφος φέρεις ὑπομάζιον, μόνη Παντευλόγητε, Θεοτόκε, Παρθένε, ᾧ ἀγαθὰ λάλησον, ὡς υἱῷ σου καὶ Κτίστῃ, ὑπὲρ ἡμῶν τῶν πίστει ἀκλινεῖ, καταφευγόντων τῇ σῇ ἀγαθότητι.

www.tezaurliturgic.ro



Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἑορτάζει σήμερον ἀγαλλομένη, τὴν ἁγίαν μνήμην σου, ἡ σὴ Μονὴ πνευματικῶς, Σίλα θεόφρον Ἀπόστολε, ὑπὸ τὴν σκέπην τὴν σὴν καταφεύγουσα.

Ἐκ γαστρός σου ἔλαμψε, τοῖς ἐν τῷ σκότει, ὁ τῆς δόξης ἥλιος, μετὰ σαρκὸς ὑπερφυῶς, Θεογενῆτορ Πανάμωμε, οὗ τῇ ἐλλάλψει τὸν νοῦν μου καταύγασον.

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ Ἤχου καὶ τὸ Προκείμενον.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος...

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται...

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν. Σοφία, ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσιν. Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα. Πρόσχωμεν.

Εὐαγγέλιον κατὰ Λουκᾶν

(Λουκ. 10,1-7)

Τῷ καιρῷ ἐκείνῳ, ἀνέδειξεν ὁ Κύριος ἑτέρους ἑβδομήκοντα, καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ εἰς πᾶσαν πόλιν καὶ τόπον, οὗ ἤμελλεν αὐτὸς ἔρχεσθαι. Ἔλεγε δὲ πρὸς αὐτούς. Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι· δεήθητε οὖν τοῦ Κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ. Ὑπάγετε· ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς ἄρνας ἐν μέσῳ λύκων. Μὴ βαστάζετε βαλλάντιον, μὴ πήραν, μὴ ὑποδήματα· καὶ μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε. Εἰς ἣν δ᾿ ἂν εἰσέλθητε οἰκίαν, πρῶτον λέγετε, εἰρήνη τῷ οἴκῳ τούτῳ. Καὶ ἐὰν ἐκεῖ ᾖ υἱὸς εἰρήνης ἐπαναπαύσεται ἐπ᾿ αὐτὸν ἡ εἰρήνη ὑμῶν· Εἰ δὲ μή γε, ἐφ᾿ ὑμᾶς ἀνακάμψει.



Ὁ Ν΄. Δόξα... Ταῖς τοῦ Ἀποστόλου...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με ὁ Θεός...

Τοῦ Εὐαγγελίου τὸν σπόρον, εἰς λογικὰς ἀρούρας σπείρας Ἀπόστολε, πολὺν καρπὸν Χριστῷ προσήγαγες, τῶν πεπιστευκότων τὰς ψυχάς. Ὅθεν τῶν ἀγώνων, κομισάμενος τὰ ἔπαθλα, μὴ διαλείπῃς πρεσβεύων δεόμεθα, ὑπὲρ τῶν τιμώντων σε.

Εἶτα οἱ Κανόνες, τῆς Θεοτόκου καὶ τοῦ Ἀποστόλου.

Κανὼν τοῦ Ἀποστόλου, οὗ ἡ ἀκροστιχίς.

Σίλα μέλπω τὰς θείας πορείας. Γερασίμου.

Ὠδὴ α΄. Ἦχος α΄. Ὠδὴν Ἐπινίκιον.

Σοφίαν παράσχου μοι, Χριστὲ Σωτήρ μου, θερμαῖς παρακλήσεσι, Σίλα τοῦ μάκαρος, ἵνα ὑμνήσω φαιδρῶς, τούτου τοὺς πόνους τοὺς μακρούς, ὑπὲρ τῆς δόξης Σου.

Ἰχνῶν καὶ τῆς χάριτος, τοῦ θείου Παύλου, ἀκόλουθος γέγονας, ψυχῆς θερμότητι, Σίλα θεράπον Χριστοῦ, καὶ τῶν καμάτων αὐτοῦ, ὤφθης συμμέτοχος.

Λαμπρῶς ἑορτάζει σου, ἡ τῶν Φιλίππων, τὴν μνήμην τὴν ἔνδοξον, καὶ Νεαπόλεως, νῦν Ἐκκλησία σοφέ, λαμπρυνομένη τῇ σεπτῇ διδασκαλίᾳ σου.

Θεοτοκίον.

Ἀσπόρως συνέλαβες τὸν Θεὸν Λόγον, ἀφθόρως δὲ τέτοκας τοῦτον Πανάχραντε, διαφθορᾶς καὶ παθῶν, ἀπολυτρούμενον ἡμᾶς, τοὺς σὲ δοξάζοντας.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου...

Ὠδὴ γ΄. Στερεωθήτω ἡ καρδία μου.

Μυσταγωγὸς θεοειδέστατος, τοῦ Εὐαγγελίου τῆς χάριτος, καὶ τῆς ζωῆς τῆς ἀληθοῦς, καὶ τῆς θείας σαρκώσεως, ἀνεδείχθης Σίλα ἔνδοξε, ὡς θεῖος Ἀπόστολος.

www.tezaurliturgic.ro



Ἐπιλεξάμενος ὁ Παῦλός σε, οἷά περ δοχεῖον τοῦ Πνεύματος, ἐπὶ τὰ Ἔθνη τὰ μακράν, μετὰ σοῦ παραγέγονε, καὶ ἡμᾶς κατεφωτίσατε, Σίλα θείᾳ χάριτι.

Λάμπων κηρύγματι τῆς πίστεως, Σίλα θεηγόρε Ἀπόστολε, εἰς τὴν Νεάπολιν σοφέ, καὶ Φιλίππους ἐξέλαμψας, καὶ διέλυσας τοῖς λόγοις σου, πλάνην τὴν καχέσπερον.

Θεοτοκίον.

Πεποικιλμένη ὑπὲρ ἔννοιαν, ταῖς τῆς παρθενίας φαιδρότησι, καὶ ταῖς ἀρρήτοις καλλοναῖς, δωρεῶν τῶν τοῦ Πνεύματος, Θεοῦ μήτηρ ἐχρημάτισας Παρθένε ἀμόλυντε.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους...

Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Θείας πίστεως, ταῖς λαμπηδόσιν, ἀνατέταλκας, πάσῃ τῇ κτίσει, καὶ εἰδώλων τὴν ἀπάτην ἐμείωσας. Ὅθεν φωστῆρα σε ἄδυτον εὕρατο, Μακεδονία τρισμάκαρ Ἀπόστολε, Σίλα ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Σὰρξ γεγένηται, ἀνερμηνεύτως, ἐξ αἱμάτων σου, τῶν παναχράντων, καὶ ἐτέχθη καὶ ἐφάνη ὡς ἄνθρωπος, ἐκ τῆς γαστρός σου ὁ Λόγος ὁ ἄναρχος, τῆς ἀρχεγόνου κατάρας ῥυόμενος, Κόρη Πάναγνε, τοὺς Σὲ Θεοτόκον ἄχραντον, κηρύττοντας ἀεὶ καὶ μεγαλύνοντας.

Ὠδὴ δ΄. Ἐν Πνεύματι προβλέπων.

Ὡράθη εὐδοκίᾳ τῇ θείᾳ ἀληθῶς, ὑμῖν θεομακάριστε ἀνήρ τις Μακεδών, οὗ τῇ προσκλήσει καθυπείκοντες φωστῆρες, ἡμῖν ἐπέστησε Παῦλε καὶ θεῖε Σίλα, τοῦ Χριστοῦ τὴν δόξαν κηρύττοντες.

Τῶν θείων Ἀποστόλων Ἀπόστολε σοφέ, ὤφθης τῶν Ἑβδομήκοντα ἀγλάϊσμα σεπτόν, τοῦ Παρακλήτου γὰρ τὴν χάριν περιφέρων, καθάπερ φλόγα τὴν ἀπάτην καταφλέγεις, Σίλα τῷ ἐν Θεῷ κηρύγματι.



Ἀνύσας τὰς πορείας θεόφρον τὰς μακράς, κινδύνους πλείστους τέτληκας στερρῶς ὑπὲρ Χριστοῦ, ἐκ τῆς Σιὼν ἐξορμηθεὶς Πνεύματι θείῳ, Μακεδονίας δὲ τὰς πόλεις διατρέξας, ἄχρι τῆς Κορίνθου διέλαμψας.

Θεοτοκίον.

Σαρκοῦται ἐξ ἁγνῶν σου αἱμάτων ὁ Θεός, καὶ τῆς φθορᾶς ἐρρύσατο τὸ γένος τῶν βροτῶν· Ὃν ἐκδυσώπει ὡς υἱόν σου Θεοτόκε, φθοροποιῶν ἡμᾶς λυτροῦσθαι νοσημάτων, καὶ πολυειδῶν ἄλλων θλίψεων.

Καταβασία. Τὴν ἀνεξιχνίαστον...

Ὠδὴ ε΄. Ἐκ νυκτὸς ὀθρίζοντες.

Θεϊκοῖς προστάγμασιν, ἰθύνων πρὸς Χριστόν, τοὺς πλανωμένους πρότερον, πρὸς τρίβους ματαιότητος, ὡς Ἀπόστολος θεῖος, Σίλα τεθαυμάστωσαι.

Ἐν Φιλίπποις Ἅγιε, δεσμὰ καὶ φυλακήν, καὶ ῥαβδισμοὺς ὑπέμεινας, καὶ δεσμῶν τῆς ματαιότητος, ἀπέλυσας Σίλα, ἀνθρώπων συστήματα.

Ἱερὰν πανήγυριν, τελεῖ χαρμονικῶς, ἐπὶ τῇ θείᾳ μνήμῃ σου, ἡ σὴ Μονὴ Ἀπόστολε, καὶ τὴν σὴν προστασίαν, ἀεὶ ἀπεκδέχεται.

Θεοτοκίον.

Ἁγνὴ Θεογεννήτρια, Ἀγγέλων χαρμονή, τὴν ἀθυμοῦσαν πάθεσι, ψυχήν μου παρακάλεσον, οἰκτιρμῶν σου Παρθένε, τῇ θείᾳ χρηστότητι.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα...

Ὠδὴ στ΄. Τὸν Προφήτην Ἰωνᾶν.

Συνοδεύων ἀκλινῶς, Παύλῳ τῷ πανευκλεεῖ, συνεργὸς ὤφθης αὐτῷ τῷ τῆς πίστεως Χριστοῦ, κηρύγματι, καὶ ἐν τοῖς ἄθλοις, σύναθλος ἔνδοξε.

www.tezaurliturgic.ro



Πλείστας πόλεις διελθών, καὶ τὸ φῶς τὸ θαυμαστόν, τῆς χρηστότητος Χριστοῦ, διαλάμπων ἐν αὐτοῖς, τῷ λόγῳ σου, Μακεδονίαν, πᾶσαν ἐφώτισας.

Ὁδηγήσας πρὸς Χριστόν, τὴν Νεάπολιν σοφέ, καὶ Φιλίππους τὴν κλεινὴν κατῳκίσθης ἐν αὐτῇ Ἀπόστολε, ὑπὲρ Κυρίου χαίρων τῷ πνεύματι.

Θεοτοκίον.

Ῥώμην δίδου μοι Ἁγνή, τοῦ πατεῖν δι' ἀρετῆς, τὴν δολίαν κεφαλὴν ὄφεως τοῦ νοητοῦ, καὶ βαίνειν με, τρίβῳ εὐθείᾳ, πρὸς τὰ οὐράνια.

Καταβασία. Τὴν θείαν ταύτην…

Κοντάκιον.

Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἑορτάζει σήμερον ἐν εὐφροσύνῃ, τὴν ἁγίαν μνήμην σου, ἡ σὴ Μονὴ ἡ εὐαγής, ἣν περιφύλαττε πάντοτε, Σίλα παμμάκαρ, Ἀπόστολε ἔνδοξε.

Ὁ Οἶκος.

Ὡς ὑπηρέτης τοῦ Χριστοῦ, καὶ κήρυξ Θεηγόρος, τοῦ σκεύους τοῦ τῆς ἐκλογῆς, ἀκόλουθος καὶ μιμητής, καὶ τύπος τε καὶ χαρακτήρ, ὡς ἀληθῶς ἐδείχθης. Τῆς Σιὼν γὰρ σὺν αὐτῷ ἐξελθών, καὶ τῇ τοῦ φανέντος ὁράματος ὁδηγίᾳ, τὴν Μακεδονίαν καταλαβών, τὴν Νεάπολιν ὡς ἀπαρχὴν ἁγίαν, καὶ Φιλίππους ὁδηγήσας εἰς Χριστόν, καὶ τὴν λοιπὴν χώραν, διαδραμών. Ὅθεν Μονήν σοι ἀνήγειραν ἱερὰν ὡς ἱλαστήριον ψυχῶν νοητόν, ἔνθα συναθροιζόμενοι εὐλαβῶς, τὴν ἁγίαν μνήμην σου ἑορτάζομεν ἐν χαρᾷ, Σίλα παμμάκαρ, Ἀπόστολε ἔνδοξε.

Κοντάκιον. Ῥωμανοῦ τοῦ Μελῳδοῦ.

Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τοῦ Παύλου δειχθείς, συνόμιλος Ἀπόστολε, σὺν τούτῳ ἡμῖν τὸν λόγον προκατήγγειλας, τῆς ἐνθέου χάριτος, μυστολέκτα τότε, παμμακάριστε. Διὰ τοῦτο βοῶμέν σοι· Μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.



Συναξάριον.

Τῇ λ' τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου Σίλα, ἑνὸς τῶν Ἑβδομήκοντα.

Στίχοι: Φῶς νοητὸν ἔλαμψας γνώσεως θείας
Ἡμῖν ὡς Ἀπόστολος ἔνθεος, Σίλα.
Σίλας Ἀπόστολος τῷ θείῳ ζήλῳ συλεῖ
Τοῦ ἐχθροῦ τὰς δυσπορθήτους πόλεις.
Μέγας μὲν Παῦλος καὶ κορυφαῖος,
Θεῖος δὲ Σίλας συνοδοιπόρος.
Ὦ Σίλα, ποῖον ἄλλο σοι πλέξω στέφος,
Ἢ αὐτόπτην λέγειν σε καὶ μύστην λόγου;
Τριακοστὴν θέσκελον Σίλαν ᾄσμασιν ἱεροῖς ὑμνέει.

Εὐλόγησον Πάτερ,

«Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον, ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν» (Ἑβρ. 13,7).

Τοὺς λόγους τούτους καὶ τὰς πολυτίμους ταύτας τοῦ τῶν Ἐθνῶν Ἀποστόλου καὶ φωτιστοῦ ἡμῶν ὑποθήκας ἔχοντες ὑπ' ὄψει, τιμῶμεν σήμερον πρεπόντως τὴν σεβάσμιον μνήμην τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου Σίλα, καὶ γεραίρομεν αὐτόν, ὥς τε τοῦ Κυρίου μαθητὴν καὶ ὡς συνέκδημον τοῦ μακαρίου Παύλου, ἀλλὰ καὶ τοῦ κορυφαίου Πέτρου, ἀλλὰ καὶ ὡς πολλὰ παθήματα δι' ἡμᾶς τοὺς τὴν πόλιν τῆς Νεαπόλεως καὶ τὴν πόλιν τῶν Φιλίππων καὶ τὴν Μακεδονίαν ἐν γένει οἰκοῦντας παθόντα, ἵνα φωτίσῃ ἡμᾶς τὸν φωτισμὸν τῆς γνώσεως καὶ εὐσεβείας καὶ ὁδηγήσῃ ἡμᾶς εἰς τὴν ἐν Χριστῷ σωτηρίαν.

Οὗτος ὁ μακάριος Σίλας, ἀξιωθεὶς παρὰ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν νὰ καταλεχθῇ μεταξὺ τῶν Ἑβδομήκοντα Ἀποστόλων, διεκρίθη ἐξαιρέτως διὰ τὴν ζῶσαν αὐτοῦ πίστιν, τὸν ἔνθεον ζῆλον καὶ τὴν ἐν τοῖς παθήμασι καὶ ταῖς ταλαιπωρίαις καρτερίαν καὶ ὑπομονήν, τιμώμενος διὰ τοῦτο ὅλως ἰδιαιτέρως παρὰ τῶν ἐν Ἱερουσαλὴμ ἁγίων Ἀποστόλων καὶ τῶν πρώτων μαθητῶν. Ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων (15, 22 - 29) μνημονεύεται τὸ πρῶτον ὡς ἀνὴρ «ἡγούμενος ἐν τοῖς ἀδελφοῖς», καὶ ὡς ἀποσταλεὶς μετὰ τοῦ Παύλου, Βαρνάβα καὶ Ἰούδα, τοῦ ἐπικαλουμένου Βαρσαβᾶ, εἰς Ἀντιόχειαν ἐν ἐπισήμῳ ἀποστολῇ, ἵνα κομίσωσι «πρὸς τοὺς ἐν Ἀντιοχείᾳ καὶ Συρίᾳ καὶ Κιλικίᾳ ἀδελφούς, τοὺς ἐξ Ἐθνῶν», τὴν ἐπιστολὴν τῶν ἁγίων Ἀποστόλων, τὴν περιέχουσαν τὴν ἀπόφασιν τῆς ἐν Ἱερουσαλὴν Ἀποστολικῆς Συνόδου. Εἰς Ἀντιόχειαν ἐλθὼν ὁ περιφανὴς οὗτος Ἀπόστολος Σίλας καὶ τὴν ἐντολὴν τῶν ἁγίων Ἀποστόλων ἐκπληρώσας, παρέμεινεν ἐν τῇ πόλει ταύτῃ μετὰ τοῦ Ἰούδα, καὶ αὐτοὶ «προφῆται ὄντες», ὡς ἀναγράφεται ἐν ταῖς Πράξεσιν (ἔν. ἀν. 31-32), καὶ «διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφοὺς καὶ ἐπε-

www.tezaurliturgic.ro



στήριξαν». Ποιήσαντες δὲ χρόνον, ἀπελύθησαν μετ' εἰρήνης ἀπὸ τῶν ἀδελφῶν πρὸς τοὺς 'Αποστόλους». «Ἔδοξεν ὅμως τῷ Σίλᾳ ἐπιμεῖναι αὐτοῦ» (ἔν. ἀν. 32-34). Ἐκεῖ, ὑπὲρ τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ ἐνθέῳ ζήλῳ ἐργαζόμενον τὸν ἅγιον τοῦτον 'Απόστολον Σίλαν, εὑρὼν ὁ θεηγόρος τῶν 'Εθνῶν 'Απόστολος Παῦλος, ὅτε, τοῦ Βαρνάβα καὶ Μάρκου ἀποχωρισθείς, ἐπεζήτει συνεργάτην διὰ τὴν 'Αποστολικὴν περιοδείαν καὶ διὰ τὸ κήρυγμα πρὸς τὰ Ἔθνη, «ἐπελέξατο τὸν Σίλαν τοῦτον καὶ ἐξῆλθον ἀμφότεροι, «παραδοθέντες τῇ χάριτι τοῦ Θεοῦ ὑπὸ τῶν ἀδελφῶν» (ἔν. ἀν. 36-41). Τὰς μετὰ τοῦ ἁγίου 'Αποστόλου τούτου διὰ τὸ κήρυγμα ταλαιπωρίας τοῦ ἁγίου 'Αποστόλου Σίλα, ὅστις, φαίνεται, ὅτι ἦτο καὶ αὐτὸς ὡς ὁ 'Απ. Παῦλος Ῥωμαῖος πολίτης (πράξ. 16, 37), εἶναι μακρὸν νὰ ἐκδιηγηθῇ τις. Αἱ Πράξεις τῶν 'Αποστόλων, περιγράφουσαι ταύτας, ἐγκωμιάζουσι συγχρόνως ἐμμέσως καὶ τοῦ ἁγίου Σίλα τὴν καρτερίαν, τὴν ὑπομονήν, τὸν ζῆλον καὶ τὴν αὐτοθυσίαν.

Σύντροφος πιστὸς τοῦ θεηγόρου Παύλου ἐν Καρίᾳ,Κιλικίᾳ, Λυκαονίᾳ, Φρυγίᾳ, Γαλατίᾳ καὶ ἐν Τρῳάδι, δὲν ἐγκατέλιπεν αὐτόν, ἀλλὰ συνώδευσε καὶ εἰς Μακεδονίαν, ὅτε διὰ θαυμασίου ὁράματος ἀπεφάσισεν ὁ θεηγόρος Παῦλος νὰ κηρύξῃ τὸ Εὐαγγέλιον εἰς τὴν χώραν ταύτην.

Τὰς ἐν Φιλίπποις θλίψεις, τὰς ταλαιπωρίας, τοὺς διωγμούς, τὰς μαστιγώσεις, τὰς αὐστηρὰς φυλακίσεις, τὴν θαυμασίαν ἐκ τῶν φυλακῶν διάσωσιν, τὴν βάπτισιν τῆς ἐκ Θυατείρων πορφυροπώλιδος Λυδίας, τὴν βάπτισιν τοῦ δεσμοφύλακος «σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ», τὴν ὑπὸ τοιαύτας συνθήκας ἵδρυσιν ἐκεῖ τῆς πρώτης Χριστιανικῆς 'Εκκλησίας, διὰ τὴν ὁποίαν οὐκ ὀλίγον εἰργάσθη καὶ ὁ μακάριος Σίλας, περιγραφικώτατα ἀναφέρονται ἐν ταῖς 'Αποστολικαῖς Πράξεσι (16, 6-40), καὶ ἐν τῇ διηγήσει τούτων ἐξαίρεται ἐπίσης ἐμμέσως καὶ τοῦ ἁγίου Σίλα ἡ προσωπικότης, ἀφοῦ δὲν ἔλλειψε συνεργαζόμενος μετ' αὐτοῦ καὶ ἐν τῇ θεραπείᾳ τῆς ἐχούσης πνεῦμα Πύθωνος καὶ ἐν τῇ παρουσιάσει ἐνώπιον τῶν Στρατηγῶν ὡς συγκατηγορούμενος.

Πιστῶς κατακολουθῶν τῷ Παύλῳ, συνώδευσεν αὐτὸν καὶ εἰς 'Αμφίπολιν, 'Απολλωνίαν, Θεσσαλονίκην, ὁπόθεν, συνεπείᾳ διωγμοῦ, φυγαδευθέντες, μετέβησαν εἰς Βέρροιαν, ὅπου δαψιλῶς τὸν λόγον τοῦ Θεοῦ ἐγκατέσπειρον. 'Αλλὰ καὶ ἐκεῖ, διωγμοῦ κατ' αὐτῶν ἐγερθέντος, ὁ μὲν Παῦλος ἀπῆλθεν εἰς 'Αθήνας, ὁ δὲ Σίλας καὶ Τιμόθεος εἰργάζοντο εὐαγγελικῶς ἐν Βερροίᾳ, ἀπεκδεχόμενοι πρόσκλησιν ἐκ μέρους τοῦ ἁγίου Παύλου, ἵνα συναντήσωσιν αὐτόν.

Καὶ πέραν μὲν τοῦ σημείου τούτου σιωπῶσιν αἱ Πράξεις τῶν 'Αποστόλων διὰ τὴν δρᾶσιν τοῦ ἁγίου 'Αποστόλου Σίλα, εἶναι ὅμως ἀναντίρρητον, ὅτι ἐξηκολούθει οὗτος καρποφορῶν ἐν τῇ 'Εκκλησίᾳ τοῦ Χριστοῦ. Περὶ τούτου μαρτυρεῖ καὶ αὐτὸς ὁ οὐρανοβάμων Παῦλος ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ ἐπιστολῇ αὐτοῦ, ἔνθα (1, 19) ἀναφέρεται, ὅτι οὗτος ἐκήρυξε τὸν λόγον ἐν Κορίνθῳ, καὶ ἐν ταῖς πρὸς τοὺς Κορινθίους καὶ ταῖς πρὸς Θεσσαλονικεῖς ἐπιστολαῖς αὐτοῦ μνημονεύει τοῦ συνεκδήμου του Σίλα καὶ γράφει τὰς ἐπιστολὰς ταύτας ἐξ ὀνόματος «Παύλου, Σιλουανοῦ καὶ Τιμοθέου».



Τὴν 'Αποστολικὴν αὐτοῦ δρᾶσιν ἐπεκτείνων ὁ μακάριος Σίλας, καὶ τοῦ κορυφαίου τῶν 'Αποστόλων Πέτρου συνεργάτης καὶ βοηθὸς ἀνεδείχθη, διότι αὐτὸν ἀπέστειλεν οὗτος κομιστὴν τῆς πρώτης αὐτοῦ Καθολικῆς λεγομένης ἐπιστολῆς πρὸς τοὺς «ἐκλεκτοὺς παρεπιδήμους διασπορᾶς Πόντου, Γαλατίας, Καππαδοκίας, 'Ασίας καὶ Βιθυνίας» (Α' Πέτρ. 5, 12).

Ὁ αὐτὸς μακάριος 'Απόστολος ἐχρημάτισεν 'Επίσκοπος ἐν τῇ πόλει τῆς Κορίνθου τῆς Ἑλλάδος. Τοῦτο μαρτυρεῖται ἐξ ἀρχαίας παραδόσεως. Χειρόγραφον πανάρχαιον τῆς Ἱεροσολυμιτικῆς Βιβλιοθήκης ὑπ' ἀριθ. 423 ἀναφέρει τὰ τῆς δράσεως τῶν Ἑβδομήκοντα 'Αποστόλων, μεταξὺ τῶν ὁποίων μνημονεύεται καὶ ὁ ἡμέτερος 'Απόστολος Σίλας ἐν τῇ δεκάτῃ πέμπτῃ σειρᾷ.[1]

'Εσχάτως δὲ ξένοι Θεολόγοι, στηριζόμενοι εἰς τὰ ἐν ταῖς Πράξεσι τῶν 'Α- 'Αποστόλων (15,22), ὅπου ὁ ἡμέτερος 'Απόστολος, ἀναφέρεται ὡς ἐκλεγεὶς μετὰ τοῦ 'Ιούδα τοῦ καλουμένου Βαρσαββᾶ, ἵνα συνοδεύσωσι τοὺς 'Αποστόλους Παῦλον καὶ Βαρνάβαν, κομιστὰς εἰς τοὺς ἐν 'Αντιοχείᾳ ἀδελφοὺς τῆς 'Αποφάσεως τῆς Πρώτης 'Αποστολικῆς Συνόδου, περιγράφονται καὶ οὗτοι ὡς «ἐκλεκτοὶ καὶ ἄνδρες ἡγούμενοι ἐν τοῖς ἀδελφοῖς», πρὸς δὲ καὶ εἰς τὴν ἐν τῷ αὐτῷ βιβλίῳ τῶν Πράξεων (15,26) ἀναφερομένην, ἐν τῇ Συνοδικῇ εἰς τοὺς ἐν 'Αντιοχείᾳ ἀδελφοὺς ἐπιστολῇ, περικοπήν, ὅπου γίνεται λόγος περὶ τοῦ 'Ιούδα καὶ τοῦ Σίλα, ὡς ἀνδρῶν δυναμένων διὰ λόγου «ἀπαγγεῖλαι τὰ αὐτά», πρὸς δὲ τούτοις εἰς τὰ ἐν τῷ αὐτῷ βιβλίῳ τῶν Πράξεων ἀναφερόμενα (ἔν. ἀν. 31, 32), ὅτι οἱ ὡς ἄνω 'Απόστολοι παρέμειναν ἐν τῇ πόλει ταύτῃ, «καὶ αὐτοὶ προφῆται ὑπάρχοντες» καὶ «διὰ λόγου παρεκάλεσαν τοὺς ἀδελφοὺς καὶ ἐπεστήριξαν», ἀλλὰ καὶ εἰς τὰ ἐν ἐπιστολαῖς τοῦ 'Αποστόλου Παύλου ἀναγραφόμενα περὶ τοῦ Σιλουανοῦ, ὅπερ ὄνομα ἀντιστοιχεῖ πρὸς τὸ τοῦ Σίλα, καὶ προσέτι, εἰς τὸ ὅτι ὁ 'Απόστολος Παῦλος ἐξελέξατο τὸν ἡμέτερον 'Απόστολον ὡς συνοδὸν καὶ βοηθὸν αὐτοῦ κατὰ τὰς εἰς Συρίαν, Κιλικίαν, Λυκαονίαν, τὴν Φρυγίαν τὴν Γαλατίαν, τὴν Τρωάδα, τοὺς Φιλίππους καὶ τὴν Μακεδονίαν περιοδείας αὐτοῦ, καθ' ἃς συνεμερίσθη οὗτος τὰς ταλαιπωρίας, τοὺς διωγμοὺς καὶ τὰς κακώσεις τοῦ διδασκάλου του (Πράξ. 16, 1-17), ἔτι δὲ εἰς τὰ ὅσα ὁ 'Απόστολος Παῦλος ἀναφέρει περὶ τοῦ ἡμετέρου Σίλα ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ ἐπιστολῇ (1, 19), δι' ὧν ἐξαίρεται τὸ ἐν Κορίνθῳ 'Αποστολικὸν ἔργον τῶν βοηθῶν του Σιλουανοῦ καὶ Τιμοθέου, καὶ τέλος, εἰς τὸ ὅτι ὁ 'Απόστολος Πέτρος ἐνεπιστεύθη τὴν ἐπίδοσιν τῆς πρώτης αὐτοῦ Καθολικῆς ἐπιστολῆς (Α' Πέτρ. 5, 12) πρὸς τοὺς «παρεπιδήμους διασπορᾶς Πόντου, Γαλατίας, Καππαδοκίας, 'Ασίας καὶ Βιθυνίας» πρὸς τὸν Σιλουανὸν ἢ Σίλαν, ὃν χαρακτηρίζει ὡς «πιστὸν ἀδελφόν», λαμβάνοντες λέγομεν οἱ σοφοὶ θεολόγοι οὗτοι ὑπ' ὄψιν τ' ἀνωτέρω, πρὸς δέ, ὅτι φαίνεται ὁ ἡμέτερος Σίλας ὡς ἐκτελέσας παρὰ τῷ 'Αποστόλῳ Παύλῳ καθήκοντα γραμματέως, ἀλλὰ καὶ τὸ ὅτι ἡ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων περιγραφὴ τῶν τραγικῶν γεγονότων τῆς ἱδρύσεως τῆς ἐν Φιλίπποις 'Εκκλησίας, ἥτις περιγραφὴ διακρίνεται καθαρῶς, ὅτι ἦτον ἀδύνατον νὰ γραφῇ τόσον λεπτομερῶς παρ' ἄλλου, ἀλλ' ἢ παρ' αὐτόπτου μάρτυρος, καταλήγουν εἰς τὸ συμπέρασμα, ὅτι κατὰ πᾶσαν πιθανότητα ὁ ἡμέτερος Σίλας θὰ εἶναι ὁ συγγρα-

1. 'Αρχιμ. Συνεσίου Γιάννου: «Ἁρμονία καὶ θειότης τοῦ Εὐαγγελίου». Σάμος, 1910.

www.tezaurliturgic.ro



φεὺς τοῦ τε κατὰ Λουκᾶν φερομένου ἁγίου Εὐαγγελίου καὶ τῶν Πράξεων τῶν Ἀποστόλων, τοσούτῳ μᾶλλον, ὅσῳ ὁ Εὐαγγελιστὴς Λουκᾶς δὲν φαίνεται ἐν τῇ Κ. Διαθήκῃ διακριθεὶς ὡς λόγιος καὶ δόκιμος χειριστὴς τῆς Ἑλληνικῆς γλώσσης, ἀλλὰ μόνον ὡς ἰατρός, (Γαλ. 4, 11 καὶ 1, 11) τοῦ ὁποίου τὸ ἐπάγγελμα κατὰ τὴν ἀρχαιότητα ἐθεωρεῖτο δουλικόν, μὴ ἐπιτρέπον τὴν ἐγκυκλοπαιδικὴν μόρφωσιν.

Ἡ ἀνωτέρω γνώμη, καίτοι δὲν ἔχει ὑπὲρ ἑαυτῆς βασίμους παραδόσεις, δὲν στερεῖται πιθανότητος, λαμβανομένου ὑπ᾿ ὄψιν τοῦ σπουδαίου ἔργου, τὸ ὁποῖον ὁ ἡμέτερος Ἀπόστολος ἐπετέλεσεν ὡς βοηθὸς καὶ συνοδὸς δύο κορυφαίων Ἀποστόλων τῶν Πέτρου καὶ Παύλου καὶ ὡς «ἡγούμενος ἐν τοῖς ἀδελφοῖς».

Καὶ ταῦτα μὲν περὶ τοῦ σήμερον τιμωμένου καὶ ἑορταζομένου ἁγίου Ἀποστόλου Σίλα ἀναφέρονται ἐν τοῖς ἱεροῖς τῆς Καινῆς Διαθήκης βιβλίοις καὶ ταῖς εὐσεβέσι παραδόσεσιν. Δι᾿ ἡμᾶς δὲ τοὺς τὴν Μακεδονίαν οἰκοῦντας, καὶ δὴ τὰς χώρας τῆς Νεαπόλεως καὶ τῶν Φιλίππων καὶ τῆς ἀνατολικῆς ἐν γένει Μακεδονίας κλέος καὶ ἀγλάϊσμα εἶναι ὁ θεῖος οὗτος ἅγιος, ὡς καθαγιάσας τὴν χώραν ἡμῶν διὰ τῶν «ὡραίων αὐτοῦ ποδῶν, τῶν εὐαγγελισαμένων τὴν εἰρήνην καὶ τὰ κατὰ Χριστὸν ἀγαθά».

Αἱ ἐπὶ τὸ ταλαίπωρον ἡμῶν Ἔθνος, κρίμασιν οἷς οἶδε Κύριος, ἐνσκήψασαι κατὰ καιροὺς ἐκ βαρβαρικῶν ἐπιδρομῶν συμφοραὶ δὲν ἐπέτρεψαν ἄχρι τοῦδε ν᾿ ἀποδώσωμεν αὐτῷ, τῷ ἐκ τῶν πρώτων φωτιστῶν καὶ εἰς τὴν ἐν Χριστῷ σωτηρίαν χειραγωγῷ ἡμῶν, τὸν ὀφειλόμενον εὐγνωμοσύνης φόρον.

Ἤδη ὅμως, χάριτι θείᾳ καὶ διὰ πρεσβειῶν τῶν ἁγίων τούτων ἀνδρῶν, ἀπολαύσαντες καὶ τῆς ἐν Χριστῷ πολιτικῆς ἐλευθερίας, ἐσπεύσαμεν καθηκόντως νὰ ἐπιτελέσωμεν, ἔστω καὶ πενιχρῶς, τὸ ἱερὸν ἡμῶν τοῦτο καθῆκον, ἱδρύσαντες τὸν πάνσεπτον τοῦτον ναὸν ἐπ᾿ ὀνόματι τοῦ Ἁγίου τούτου Ἀποστόλου Σίλα ἐν τῇ θέσει, ὅπου, κατὰ σεβαστὴν ἀρχαιοτάτην παράδοσιν, οἱ ἅγιοι Ἀπόστολοι Παῦλος καὶ Σίλας καὶ Τιμόθεος καὶ οἱ τούτους συνοδεύοντες ἀνεπαύθησαν πρὸς καιρὸν ἐκ τῆς κοπώσεως τῆς πρὸς Φιλίππους ὁδοιπορίας κατὰ τὴν πρώτην ἀνὰ τὰ μέρη ταῦτα Ἀποστολικὴν περιοδείαν.

Καὶ πόσα μὲν κατωρθώθησαν ἐν τῷ ἱερῷ τούτῳ τόπῳ τῇ χάριτι τοῦ Κυρίου διὰ πρεσβειῶν τῶν ἁγίων Του Ἀποστόλων, ἀναφέρομεν ἐν τοῖς προλεγομένοις τῆς ἱερᾶς ταύτης Ἀκολουθίας καὶ ἐν τῷ ἐπιμέτρῳ αὐτῆς. Ἔχομεν δὲ τὴν ἀκράδαντον πίστιν, ὅτι τὸ ταπεινὸν ἡμῶν ἔργον τοῦτο θὰ εὐλογήσῃ δαψιλῶς ὁ εὐλογῶν τοὺς εὐλογοῦντας Αὐτὸν Κύριος.

Σίλα μακάριε, εὐμενῶς δέχθητι τὴν λιτὴν ἡμῶν ταύτην προσφοράν, καὶ εὐλόγησον τὸ πιστὸν εἰς τὸν Κύριον πνευματικὸν τοῦτον ποίμνιόν Σου καὶ πρέσβευε διηνεκῶς πρὸς Αὐτόν, ἵνα περιφρουρῇ τὴν εὐλογημένην ταύτην καὶ ἀποστολοβάδιστον χώραν ἀπὸ πάσης ἐπηρείας τοῦ ἀντικειμένου καὶ προάγῃ αὐτὴν ἑκάστοτε πρὸς τὰ ἄνω, ὅπου τῶν Οὐρανῶν ἡ Βασιλεία, ἧς εἴθε ν᾿ ἀπολαύσωμεν πάντες τῇ μεσιτείᾳ σου. Ἀμήν.

Ταῖς αὐτοῦ πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.



Ὠδὴ ζ΄. Τοὺς ἐν Καμίνῳ.

Ἐκλελεγμένος Παύλῳ τῷ σοφῷ, σοφίας τοῦ Πνεύματος σάλπιγξ ὤφθης μυστική, καὶ λόγον Χριστοῦ τὸν σωτήριον, πᾶσιν ἀληθῶς ἐσάλπισας, εὐλογητὸς ἐκβοῶν, ὁ τῶν Πατέρων Θεός.

Ἱερομύστης ὤφθης ἱερός, ὡς θεῖος Ἀπόστολος μυστηρίων ὑψηλῶν, καὶ τῆς ζωῆς τὸ Εὐαγγέλιον, Κόσμῳ Σίλα ἱερούργησας, καθιερώσας Χριστῷ, πεπιστευκότων πληθύν.

Ἀναπαυθεὶς μάκαρ καθ᾿ ὁδόν, ἐκ Νεαπόλεως εἰς Φιλίππους προχωρῶν· ἔνθα σοι Μονὴν σεπτὴν ἐδείματο, Σίλα ὁ Ποιμὴν ὁ ἔνθεος, τὸν τόπον τοῦτον σοφέ, ἡγίασας ἀληθῶς.

Θεοτοκίον.

Σεσαρκωμένον τέτοκας ἡμῖν, Θεὸν τὸν ἀσώματον διὰ σπλάγχνα οἰκτιρμῶν· ὅθεν τῆς σαρκός μου τὰ συντρίμματα, ἅμα καὶ ψυχῆς τὴν κάκωσιν, ἴασαι Κόρη Ἁγνή, οἷάπερ μήτηρ Θεοῦ.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Ὠδὴ η΄. Ὃν φρίττουσιν ἄγγελοι.

Γεώργιον ἔμψυχον, Κυρίου γεγονώς, σοφῶς ἐγεώργησας ταῖς θείαις διδαχαῖς, προσφέρειν τῷ Λόγῳ, ἀρετῶν τοὺς καρπούς, τῆς Μακεδονίας, τὰς πόλεις θεηγόρε.

Εἰς πόλιν ἐπέφθασας, Φιλίππων ἱερέ, ἐκ τῆς Νεαπόλεως προσκλήσει μυστικῇ, ἀνδρὸς Μακεδόνος, ἐκ Τρῳάδος ἐλθών, καὶ Θεσσαλονίκην, καὶ Βέρροιαν λαμπρύνεις.

Ῥοαῖς τῶν δογμάτων σου, ἀρδεύεις δαψιλῶς, Ἀμφίπολιν Ἅγιε, κηρύξας τὸν Χριστόν, καὶ Ἀπολλωνίαν, διοδεύσας καλῶς, πρὸς ὁδὸν ἰθύνεις, αὐτὴν ζωῆς ἁγίας.

Θεοτοκίον.

Ἀφθόρως ἐκύησας, Χριστὸν τὸν Λυτρωτήν, φθορᾶς ἐκλυτρούμενον, ἡμᾶς τοὺς γηγενεῖς, διό με φθαρέντα, μεθοδείαις ἐχθροῦ, καίνισον Παρθένε, τῇ σῇ ἐπιστασίᾳ.

www.tezaurliturgic.ro



Καταβασία. Παῖδας εὐαγεῖς...

Ὠδὴ θ'. Τὴν φωτοφόρον νεφέλην.

Συνοδοιπόρος τυγχάνων, τοῦ θεορρήμονος Παύλου, πλείστους κινδύνους σὺν αὐτῷ, θεῖε Σίλα ὑπέστης, καὶ διανύσας ἱερῶς τὸν δρόμον τὸν κάλλιστον, Ἀπόστολε, ἐπαξίως ἐδέξω, τὰς ἀφθάρτους δωρεὰς παρὰ Χριστοῦ.

Ἰαματόβρυτος κρήνη, γένοιτο Σίλα τοῖς πᾶσιν, ἡ παναγία σου εἰκών, τοῖς πιστῶς προσιοῦσι, τῇ θεολέκτῳ σου Μονῇ, ἰάματα νέμουσα ἑκάστοτε, καὶ χαρὰν καὶ εἰρήνην, καὶ παντοίων πειρασμῶν ἀπαλλαγήν.

Μακεδονία καυχᾶται, ταῖς ἱεραῖς διδαχαῖς σου· ὅτι ἐπέδραμες αὐτήν, ὡς ἀστὴρ ἑωσφόρος, καὶ εὐσεβείας τῷ φωτί, κατηύγασας Σίλα παμμακάριστε, ἃς διέδραμες πόλεις, ὡς Ἀπόστολος Χριστοῦ Θεοειδής.

Οἱ ἐν τῇ Μάνδρᾳ σου ταύτῃ, τῇ ἱερᾷ ἐνοικοῦντες, καὶ ἑορτάζοντες φαιδρῶς, τὴν ἁγίαν σου μνήμην, τὴν προστασίαν σου ἀεί, ἐπιβοώμεθα Ἀπόστολε, ἣν ἡμῖν δίδου Σίλα, ὡς θερμὸς ἡμῶν φρουρὸς καὶ ἀρωγός.

Θεοτοκίον.

Ὕψος τοῦ σοῦ μυστηρίου, καὶ τῆς ἀρρήτου σου δόξης, τίς διηγήσεται Ἁγνή, Θεοτόκε Παρθένε· σὺ γὰρ προήγαγες ἡμῖν, σαρκὸς ὁμοιώματι τὸν ἄσαρκον, καὶ Ὑπέρθεον Λόγον, ἀλογίας ἐκλυτρούμενον ἡμᾶς.

Καταβασία. Ἅπας γηγενής...

Ἐξαποστειλάριον. Τῶν μαθητῶν ὁρώντων σε.

Τὸν μαθητὴν καὶ ἔνθεον μυστολέκτην, τῆς ὑπὲρ τοῦ λόγου νοῦν οἰκονομίας, Σίλαν τὸν Ἀπόστολον ὑμνήσωμεν· ὅτι ἡμᾶς ἐρρύσατο, τῆς τῶν εἰδώλων ἀπάτης, Εὐαγγελίου τῷ λόγῳ.



Θεοτοκίον.

Θεὸν τεκοῦσα Κόρη δι' εὐσπλαχνίαν, ἐκ τῶν ἁγνῶν αἱμάτων σου σαρκωθέντα, μήτηρ ἀνεδείχθης ἀειπάρθενος, ἐν ταῖς ἀγκάλαις φέρουσα, τὸν τῇ δρακὶ πᾶσαν κτίσιν, φέροντα Θεὸν Λόγον.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ', καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.

Σίλα τοῦ Χριστοῦ Ἀπόστολε, καθάπερ ῥεῖθρον ζωῆς, ταῖς ἀρδείαις τοῦ Πνεύματος, μυστικῶς κατήρδευσας, τὰς αὐχμώσας τοῖς πάθεσι, ψυχῶν ἀρούρας καὶ ταύτας ἔδειξας, καρποφορούσας σπόρον τῆς πίστεως. Ὅθεν τὴν μνήμην σου, τὴν ἁγίαν σήμερον, πνευματικοῖς, ὕμνοις ἑορτάζοντες, ἐπαγγαλλόμεθα.

Σίλα ἱερὲ Ἀπόστολε, τῇ τοῦ φανέντος φωνῇ, ἐν ὁράματι Ἅγιε, Μακεδόνος ἔδραμες, θείῳ Παύλῳ ἑπόμενος, ἀπὸ Τρῳάδος εἰς τὴν Νεάπολιν, καὶ εἰς Φιλίππους Χριστὸν ἐκήρυξας, ἔνθα ὑπέμεινας, ῥαβδισμοὺς τῷ σώματι καὶ ἐν εἱρκτῇ, καθειρχθεὶς δεδόξασαι, ἐν ξένῳ θαύματι.

Σίλα παμμάκαρ Ἀπόστολε, περιφανής σοι Μονή, ὡς σεπτὸν ἱλαστήριον, καὶ θεῖον Ἁγίασμα, ἱερῶς ᾠκοδόμηται, ἐπὶ τόπου ἐν ᾧ ἐστάθμευσας, ὁδὸν ὁδεύων τὴν τοῦ κηρύγματος, ἣν περιφύλαττε, ταῖς σαῖς παρακλήσεσι, τῇ ἱερᾷ, σκέπῃ σου προστρέχουσαν, καί σὲ γεραίρουσαν.

Σίλα θεόφρον Ἀπόστολε, ὑπὲρ ἡλίου αὐγάς, ἡ σὴ μνήμη ἐξήστραψε, καὶ ἡμᾶς κατηύγασε, ταῖς ἀκτῖσι τοῦ βίου σου, ἣν πανταχόθεν συναθροιζόμενοι, ἐν τῇ Ἁγίᾳ Μονῇ σου χαίροντες, πανηγυρίζομεν, καθαγιαζόμενοι, ταῖς πρὸς Χριστόν, θείαις σου δεήσεσι, ψυχὰς καὶ σώματα.

www.tezaurliturgic.ro



Δόξα... Ἦχος πλ. δ΄.

Ἔχει μὲν ἐν οὐρανοῖς, ἡ τῶν πρωτοτόκων Ἐκκλησία, τὴν θεοειδῆ σου ψυχήν, κατηγλαϊσμένην ὡς νύμφην, ἐν Ἁγίῳ Πνεύματι, Σίλα Ἀπόστολε. Ἔχει δὲ καὶ ἐπὶ γῆς, τὴν εὐαγῆ σου ταύτην Μονήν, ἡ Φιλίππων καὶ Νεαπόλεως Ἐκκλησία, ὡς ἁγιαστήριον θεῖον, ἁγιασμοῦ παρέχον δωρεάς, τοῖς εἰλικρινῶς προσιοῦσιν ἑκάστοτε, ἔνθα προστρέχοντες, τὴν εὐκλεῆ σου ἑορτάζομεν μνήμην, καὶ δυσωποῦμέν σε τοῦ πρεσβεύειν, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν... Θεοτοκίον.

Δέσποινα πρόσδεξαι...

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἀποστόλου ἡ γ΄ καὶ ς΄ Ὠδή.

Ἀπόστολος.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Ἐν ταῖς ἡμέραις ἐκείναις, διοδεύσαντες οἱ Ἀπόστολοι τὴν Ἀμφίπολιν καὶ τὴν Ἀπολλωνίαν, ἦλθον εἰς Θεσσαλονίκην, ὅπου ἦν ἡ συναγωγὴ τῶν Ἰουδαίων. Κατὰ δὲ τὸ εἰωθὸς τῷ Παύλῳ, εἰσῆλθε πρὸς αὐτούς, καὶ ἐπὶ Σάββατα τρία διελέγετο αὐτοῖς ἀπὸ τῶν Γραφῶν, διανοίγων καὶ παρατιθέμενος, ὅτι τὸν Χριστὸν ἔδει παθεῖν καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι οὗτός ἐστιν ὁ Χριστὸς Ἰησοῦς, ὃν ἐγὼ καταγγέλλω ὑμῖν. Καί τινες ἐξ αὐτῶν ἐπείσθησαν, καὶ προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, τῶν τε σεβομένων Ἑλλήνων πλῆθος πολύ, γυναικῶν τε τῶν πρώτων οὐκ ὀλίγαι·



Σοφία, ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσιν. Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα. Πρόσχωμεν.

(Λουκᾶ 10, 16).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει· καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· Ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με. Ὑπέστρεψαν δὲ οἱ Ἑβδομήκοντα μετὰ χαρᾶς, λέγοντες· Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί Σου. Εἶπε δὲ αὐτοῖς· ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ Οὐρανοῦ πεσόντα. Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ. Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται. Χαίρετε δὲ μᾶλλον, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγγράφη ἐν τοῖς οὐρανοῖς. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς καὶ εἶπεν· ἐξομολογοῦμαί Σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναί, ὁ Πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν Σου.

Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν...

Μεγαλυνάριον.

Χαίροις εὐσεβείας θεῖος πυρσός, Ἀπόστολε Σίλα, καὶ τῆς Χάριτος θησαυρός· χαίροις τῆς Μονῆς σου, ὁ θεῖος ἀντιλήπτωρ, ἣν φύλαττε καὶ φρούρει πάντοτε Ἅγιε.

Δίστιχον.

Σίλα δέξαι αἴνεσιν ἣν σοὶ ὑφαίνει
Γεράσιμος Μονώτης εἷς τῶν ἐν Ἄθῳ.